*νηί τε σὺν φόρτῳ τε, κόνιν δέ σου ἀμφιμέλαιναν*
*δέξαντ' οἰζυροί, σχέτλιε, κηδεμόνες.*

## XIV

*Εὐφορίων ὁ περισσὸν ἐπιστάμενός τι ποῆσαι*
*Πειραϊκοῖς κεῖται τοῖσδε παρὰ σκέλεσιν.*
*ἀλλὰ σὺ τῷ μύστῃ ῥοιὴν ἢ μῆλον ἄπαρξαι*
*ἢ μύρτον, καὶ γὰρ ζωὸς ἐὼν ἐφίλει.*

## XV

*Μνασάλκεος τὸ σᾶμα τῶ Πλαταΐδα*
*τῶ 'λεγηοποιῶ·*
*ἁ Μῶσα δ' αὐτῶ τᾶς Σιμωνίδα πλάθας*
*ἧς ἀποσπάραγμα,*
*†καινα τε καὶ γὰν† κἀπιλακυθίστρια*
*†διθυραμβοχανα.†*
*τέθνακε· μὴ βάλωμες. εἰ δέ κ' ἔζοεν*
*τύμπανόν κ' ἐφύσῃ.*

## XVI

*πέτρος ἐγὼ τὸ πάλαι γυρὴ καὶ ἄτριπτος ἐπιβλής,*
*τὴν Ἡρακλείτου δ' ἔνδον ἔχω κεφαλήν.*
*αἰών μ' ἔτριψεν κροκάλαις ἴσον· ἐν γὰρ ἁμάξῃ*
*παμφόρῳ αἰζηῶν εἰνοδίῃ τέταμαι·*